Universitätsbibliothek Paderborn

Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

Theodoretus <Cyrrhensis>

Mogvntiae, 1679

XXVI. De Honorio Imperatore & de Telemacho Monacho.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

ſupplicio ſententiam protulit. Hujuſmodi fuit tum pacis, tum belli tempore Theodoſius: qui & divinum ſemper imploravit auxilium, nec illo unquam fraudatus eſt.

CAP. XXV.

De morte Imperatoris Theodoſii.

POſt hanc autem victoriam in morbum delapſus, Imperium filiis ſuis diſtribuit. Ac majori quidem natu, partem quam ipſe rexerat; minori verò Europæ Imperium aſſignavit. Utrumque autem hortatus eſt, ut integram ac ſolidam pietatem retineret. Per hanc enim, inquit, & pax conſervatur, & bellum extinguitur: per hanc hoſtes fugantur, eriguntur trophæa, & victoria comparatur. Hæc ille monita cum filiis ſuis ſuggeſſiſſet, extremum diem clauſit, immortalem nominis ſui memoriam derelinquens.

CAP. XXVI.

De Honorio Imperatore, & de Telemacho Monacho.

IMperii verò illius ſucceſſores, pietatis quoque hæredes extiterunt. Nam & Honorius, qui Europæ partes regendas ſuſceperat, gladiatorum ſpectacula olim Romæ fieri ſolita ſuſtulit ex hujuſmodi occaſione. Erat quidam Telemachus monaſticæ vitæ deditus. Hic ab Orientis partibus profectus, ejuſque rei causâ Romam ingreſſus, cum deteſtandum illud ſpectaculum ederetur, ipſe quoque in amphitheatrum venit. Et in arenam deſcendens, gladiatores, qui inter ſe pugnabant, compeſcere conabatur. Sed cruentę cędis ſpectatores, eam rem ægrè ferentes, & dæmonis, qui eo ſanguine oblectabatur furorem animis ſuis concipientes, pacis auctorem lapidibus obruerunt. Quo cognito admirandus Imperator, hunc quidem invictiſſimorum Martyrum numero adſcripſit: tetrum verò illud ſpectaculum penitus abolevit.

A τῆς κατ' αὐτοῦ τιμωρίας τὴν ψῆφον. τοιοῦτος ἦν ἐκεῖνος καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ· ἀεὶ μὲν τὴν θείαν ἐπικουρίαν αἰτῶν, ἀεὶ δὲ ταύτης μεταλαγχάνων.

Κεφ. κε'.

Περὶ τῆς Θεοδοσίου τοῦ βασιλέως τελευτῆς.

ΜΕτὰ δὲ τήνδε τὴν νίκην ἀῤῥωστήσας, τοῖς υἱέσι τὴν βασιλείαν διένειμε. καὶ τῷ μὲν πρεσβυτέρῳ τὴν οἰκείαν ἔδωκεν ἡγεμονίαν, τῷ νεωτέρῳ δὲ τῆς εὐρώπης τὰ σκῆπτρα. τὴν εὐσέβειαν δὲ τελείαν καὶ τοῦτον ἔχειν
B κἀκεῖνον παρῄνεσε. διὰ ταύτης γὰρ ἔφη, καὶ ἡ εἰρήνη φυλάττεται, καὶ πόλεμος καταλύεται, καὶ πολέμιοι τρέπονται, καὶ ἀνίσταται τρόπαια, καὶ νίκη βραβεύεται. ἐκεῖνος μὲν ταῦτα τοῖς παισὶ παραινέσας ἐτελεύτησεν, ἀείμνηστον κλέος καταλιπών.

Κεφ. κς'.

Περὶ ὀνωρίου τοῦ βασιλέως καὶ τηλεμάχου μονάζοντος.

ΟΙ δὲ τῆς βασιλείας διάδοχοι, καὶ τῆς εὐσεβείας ἐγένοντο κληρονόμοι. Ὀνώριος μὲν γὰρ ὁ τῆς εὐρώπης τὴν βασιλείαν δε-
C ξάμενος. τὰς ἐν ῥώμῃ πάλαι γινομένας μονομαχίας κατέλυσεν, ἀφορμὴν τοιάνδε λαβών. τηλέμαχός τις ἦν τὸν ἀσκητικὸν ἀσπαζόμενος βίον. οὗτος ἀπὸ τῆς ἑῴας ἀπάρας, καὶ τούτου χάριν τὴν ῥώμην καταλαβών, τῆς μυσαρᾶς ἐκείνης ἐπιτελουμένης θέας, εἰσελήλυθε καὶ αὐτὸς εἰς τὸ στάδιον, καὶ καταβὰς παύειν ἐπειρᾶτο τοὺς κατ' ἀλλήλων κεχρημένους τοῖς ὅπλοις. τῆς δὲ μιαιφονίας οἱ θεαταὶ χαλεπήναντες, καὶ τοῦ τοῖς αἵμασιν ἐκείνοις ἐπιτερπομένου δαίμονος εἰσδεξάμενοι τὴν βακχείαν, κατέλευσαν τῆς εἰρήνης
D τὸν πρύτανιν. τοῦτο μαθὼν ὁ θαυμαστὸς βασιλεὺς, τὸν μὲν τοῖς νικηφόροις συνηρίθμησε μάρτυσι, τὴν δὲ πονηρὰν ἐκείνην ἔπαυσε θεωρίαν.